τὸν κτίστην καὶ δεσπότην τῆς οἰκουμένης· ῥῦσαι ἡμᾶς τῆς σῆς μου τὰ-
ναγκης φιλάνθρωπε· πρεσβείαις τοῦ θείου· καὶ πάντων τῶν σῶν
ἁγίων μαρτύρων σου· εἰς σὲ γὰρ πάντες ἐλπίζομεν· τοὺς ἠθλημαι
κινδύνων καὶ θλίψεων· τέλος αὐτῆς γὰρ ὑπάρχεις· ᾠδὴ ζ΄ ἐν τῇ καμ(ίνῳ):-

Λελαμπρυσμένος τῇ θείᾳ δόξῃ καὶ χάριτι· μάρτυς ἀθλοφόρε
λαμπὰς φωτὸς ἄδυτος· καὶ φωτίζεις τοὺς κραυγάζοντας· εὐλογ(ητὸς):-

ὁ πορφυρίδι κεκοσμημένος τῶν σῶν αἱμάτων ἐχρημάτισας κυ-
ρίου ἔνδοξε τὸν στρατὸν· τῷ Χ(ριστ)ῷ συμβασιλεύεις μάρτυς· εὐλογ(ητὸς):-

Δεδοξασμένη πεφωτισμένη μυροπαρ(άθη)· πάντας τοὺς τιμῶν-
τάς σε τῶν πάντων ἀληθῶς θεῶν περιφανῆ σου μνήμην· εὐλογ(ητὸς):- ᾠδὴ η΄ χάρας ἐκ

Ἠμαύρωσας πᾶσαν τοῦ ἐχθροῦ μανίαν ἔνδοξε καὶ τὰ πα-
λαίσματα· τῇ ἀκαθαιρέτῳ δυνάμει τοῦ Χ(ριστο)ῦ περιζω-
σάμενος· καὶ νικηφόρος γενόμενος· μετὰ τῶν ἐκραυγαζόντων· εὐλογ(εῖτε):-

αρτύρων ἀγαθίαν δάκρυσι· μαρτύρων ἀγλαΐαν· μάρτυς κε-
κλήρωσαι· λουτρὸν λουσάμενος ἄλλον· ὃ δ᾽ ἀπερρίσου μο-
λύνεται· αἵματι προσβολῆς· λόγχῃ νυττόμενος κραυγάζων· εὐλογ(εῖτε):-

τῶν θαυμασίων σου τὸ πλῆθος· τῶν ὑπὲρ μοῦ δωρεῶν· ἣν
σοι παρέσχε Χ(ριστὸ)ς· τοῖς πᾶσι δάκρυσιν ἔνδοξε· καὶ ἡ χά-
ρις τῶν ἰάσεων· τῶν ὑπὲρ λόγον σαφῶς· χάριν κηρύ-
ττει ἡμῖν τοῖς βοῶσι· πάντα τὰ ἔρ(γα):-